www.tezaurliturgic.ro

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΒΕΡΡΟΙΑΣ ΚΑΙ ΝΑΟΥΣΗΣ

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ

# ΣΩΣΙΠΑΤΡΟΥ

## ΤΟΥ ΕΚ ΒΕΡΡΟΙΑΣ ΤΗΣ ΜΑΚΕΔΟΝΙΑΣ

ΜΕΤΑ ΠΑΡΑΚΛΗΤΙΚΟΥ
ΠΡΟΣ ΑΥΤΟΝ ΚΑΝΟΝΟΣ

ΒΕΡΡΟΙΑ 1978

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ ΣΩΣΙΠΑΤΡΟΥ
## ΜΕΤΑ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΠΡΟΣ ΑΥΤΟΝ ΚΑΝΟΝΟΣ

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει
ὑ π ὸ
Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου
Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΒΕΡΡΟΙΑΣ ΚΑΙ ΝΑΟΥΣΗΣ

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ

# ΣΩΣΙΠΑΤΡΟΥ

## ΤΟΥ ΕΚ ΒΕΡΡΟΙΑΣ ΤΗΣ ΜΑΚΕΔΟΝΙΑΣ

ΜΕΤΑ ΠΑΡΑΚΛΗΤΙΚΟΥ
ΠΡΟΣ ΑΥΤΟΝ ΚΑΝΟΝΟΣ

ΒΕΡΡΟΙΑ 1978

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ

Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΙΩΑΝΝΟΥ ΓΕΝΝΑΔΙΟΥ 14 (Τ. Τ. 140)

ΑΡΙΘ. | ΠΡΩΤ. Θ. Λ. 1109/4536α
ΔΙΕΚΠ. 2238

ΑΘΗΝΗΣΙ ΤΗ 5 - 12 - 75

Πρὸς

Τὸν Σεβασμιώτατον Μητροπολίτην

Βερροίας καὶ Ναούσης κ. Παῦλον

Εἰς Βέρροιαν

Σεβασμιώτατε ἐν Χριστῷ ἀδελφέ,

Ἔχοντες ὑπ' ὄψιν τὰς ὑποβληθείσας ἡμῖν διὰ τοῦ ὑπ' ἀριθ. 700/1975 ὑμετέρου ἐγγράφου Ἱερὰς Ἀκολουθίας 1) τοῦ Ἁγ. Ἱερομάρτυρος Ἀρσενίου Μητροπολίτου Βερροίας καὶ 2) τοῦ Ἁγ. Σωσιπάτρου τοῦ ἐκ Βερροίας, ποιηθείσας ὑπὸ τοῦ Ὁσιολ. Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, ὡς καὶ τὴν σχετικὴν εἰσήγησιν τοῦ Σεβ. Μητροπολίτου Ἱερισσοῦ κ. Παύλου, ὡς Προέδρου τῆς Σ. Ε. Θ. Λατρείας, Συνοδικῇ ἀποφάσει, ἐγκρίνομεν ταύτας ὡς καλῶς ἐχούσας, καθ' ὅσον οὐδὲν τὸ ἀπᾷδον πρός τε τὰ δόγματα καὶ τὰς παραδόσεις τῆς καθ' ἡμᾶς Ἁγιωτάτης Ὀρθοδόξου Ἐκκλησίας περιέχεται ἐν αὐταῖς καὶ παρακαλοῦμεν, ὅπως κατὰ τὴν τάξιν ὑποβάλητε ἡμῖν πέντε ἀντίτυπα τῶν ἐκδοθησομένων ἀνωτέρω Ἱερῶν Ἀκολουθιῶν διὰ τὸ Ἀρχεῖον τῆς Σ. Ε. Θ. Λατρείας.

Ἐπὶ τούτοις κατασπαζόμενοι τὴν Ὑμετέραν Σεβασμιότητα ἐν Κυρίῳ, διατελοῦμεν μετ' ἀγάπης.

† Ὁ Ἀθηνῶν ΣΕΡΑΦΕΙΜ, Πρόεδρος

Ὁ Ἀρχιγραμματεὺς
Ἀρχιμ. ΑΜΒΡΟΣΙΟΣ ΛΕΝΗΣ

ΚΟΙΝΟΠΟΙΗΣΙΣ

Σ.Ε.Θ. Λατρείας - ΕΝΤΑΥΘΑ

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# ΠΡΟΛΟΓΟΣ

*Μεταξὺ τῶν μεγάλων Ἐκκλησιαστικῶν ἀνδρῶν, οἵτινες ἔδρασαν ἐπωφελῶς ἐν τῇ Ἐκκλησίᾳ καὶ διὰ τοῦ μαρτυρίου των συνέβαλον εἰς τὴν στερέωσιν τοῦ χριστιανικοῦ φρονήματος, ἀνήκει ἀναντιρρήτως καὶ ὁ ἐκ Βερροίας καταγόμενος Σώπατρος ἢ Σωσίπατρος υἱὸς τοῦ Πύρρου. Οὗτος συνεργάτης καὶ ἀκόλουθος γενόμενος τοῦ οὐρανοβάμονος Ἀποστόλου Παύλου «συνείπετο δὲ αὐτῷ ἄχρι τῆς Ἀσίας Σώπατρος Βερροιαῖος» (Πράξ. κ΄ 4), ἐσφράγισεν διὰ τοῦ τιμίου αἵματός του «τὸν γεννώμενον τότε χριστιανισμὸν» ἐν Κερκύρᾳ.*

*Ὅθεν κατὰ Ὀκτώβριον τοῦ 1973 ἐγένετο ὑφ᾽ ἡμῶν, ἡ μετακομιδὴ μέρους τῶν ἁγίων αὐτοῦ λειψάνων, κατόπιν τῆς φιλαδέλφου πρὸς τοῦτο συγκαταθέσεως τοῦ Σεβασμιωτάτου Μητροπολίτου Κερκύρας κ. Πολυκάρπου, ἀνταποκρινομένου εἰς ἡμετέραν παράκλησιν, πρὸς ἁγιασμὸν τῶν χριστιανῶν τῆς Μητροπολιτικῆς ἡμῶν περιφερείας.*

*Διὰ τοῦτο λογιζόμεθα εὐτυχεῖς διότι ἡ Τοπικὴ Ἀποστολικὴ Ἐκκλησία Βερροίας ἔχει προσφέρει τοιαύτην μορφήν, εἰς τὸ πάνθεον τῶν μαρτύρων τῶν ἐκχυσάντων τὸ αἷμα των διὰ τὴν διάδοσιν καὶ στερέωσιν τῆς χριστιανικῆς πίστεως, καί, τὴν ὁποίαν σήμερον δύναται νὰ παρουσιάσῃ εἰς τὸ χριστεπώνυμον πλήρωμα αὐτῆς πρὸς μίμησιν.*

*Ἡ παροῦσα ἔκδοσις τῆς ἀκολουθίας ἀποτελεῖ μικρὰν προσφορὰν τιμῆς καὶ εὐλαβείας πρὸς τὸν Ἀπόστολον Σώπατρον ἢ Σωσίπατρον, τὸ καύχημα τοῦτο καὶ σέμνωμα τῆς Βερροίας καὶ σκοποῖ εἰς τὴν καθιέρωσιν τῆς λειτουργικῆς μνήμης καὶ πράξεως εἰς τὴν γενέτειράν του, τὴν Βέρροιαν, ὥστε οἱ συμπατριῶται του Βερροιεῖς, λάβωσι γνῶσιν τῆς δράσεώς του, τόσον ἐν Ἰκονίῳ τῆς Μικρᾶς Ἀσίας, ὅσον καὶ ἐν Κερκύρᾳ, ὅπου καὶ ὑπέστη μαρτυρικὸν θάνατον, καὶ ἐπιδίδωνται προθύμως εἰς τὸν καλὸν τῆς ἀρετῆς ἀγῶνα.*

*Ἔγραφον ἐν τῷ Ἱερῷ Ἐπισκοπείῳ Βερροίας, τὴν 25ην Μαρτίου 1978, ἑορτὴν τοῦ Εὐαγγελισμοῦ τῆς Θεοτόκου.*

*† Ὁ Βερροίας καὶ Ναούσης ΠΑΥΛΟΣ*

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

Τῇ ΚΘ´ τοῦ Μηνὸς Ἀπριλίου
μνήμη τοῦ Ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου

# ΣΩΣΙΠΑΤΡΟΥ

ἑνὸς ἐκ τῶν Ο´ ἐκ Βερροίας τῆς Μακεδονίας καταγομένου.

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ´. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος δ´. Ἔδωκας σημείωσιν.

Παύλου τῷ κηρύγματι, καταυγασθεὶς τὴν διάνοιαν, τοῖς αὐτοῦ θείοις ἴχνεσι, θερμῶς ἠκολούθησας, Σωσίπατρε μάκαρ, τοῦ Εὐαγγελίου, μυσταγωγὸς ἀναδειχθείς, καὶ Ἀποστόλων τῶν Ἑβδομήκοντα, συνάριθμος καὶ σύσκηνος· διὸ τὴν μνήμην σου σήμερον, τὴν σεπτὴν ἑορτάζοντες, τὸν Χριστὸν μεγαλύνομεν.

Βέρροια ἀγάλλεται, βλαστόν σε θεῖον πλουτήσασα, θεηγόρε Σωσίπατρε· ἀπαρχὴ γὰρ γέγονας, ἐν αὐτῇ τρισμάκαρ, τῶν πεπιστευκότων, Εὐαγγελίῳ τοῦ Χριστοῦ, καὶ μετὰ πίστεως διηκόνησας, Παύλῳ τῷ θεομάκαρι, καὶ σὺν αὐτῷ χαίρων ἔδραμες, πρὸς Ἀσίαν λαμπόμενος, τῇ αὐτοῦ θείᾳ χάριτι.

Χάριν τὴν τοῦ Πνεύματος, χερσὶ τοῦ Παύλου δεξάμενος, παρ᾽ αὐτοῦ προκεχείρισαι, ποιμὴν καὶ διδάσκαλος, Ἰκονίου μάκαρ, καὶ ἐν τῇ Κερκύρᾳ, σὺν τῷ Ἰάσονι ὁμοῦ, παραγενόμενοι ἐφωτίσατε, τοὺς ἐν νυκτὶ καθεύδοντας, τῆς ἀγνωσίας τὸ πρότερον, ταῖς ἀκτῖσι τῆς πίστεως, θεηγόρε Σωσίπατρε.

www.tezaurliturgic.ro



Λόγῳ τῷ τῆς χάριτος, πολλοὺς Κυρίῳ προσήγαγες, σεσωσμένους Ἀπόστολε, καὶ πόνοις ἀθλήσεως, τὸν Χριστὸν δοξάσας, πρὸς ἄπονον λῆξιν διεβιβάσθης ἐν χαρᾷ, σὺν τῷ Ἰάσονι ὦ Σωσίπατρε· διὸ ἡ σὲ βλαστήσασα, πόλις Βερροίας εὐφραίνεται, πανδημεὶ ἑορτάζουσα, καὶ τιμῶσα τὴν μνήμην σου.

Δόξα. Ἦχος α΄.

Τῆς ἐν Χριστῷ διδασκαλίας, δεξάμενος τὴν ἔλλαμψιν, τῆς εὐσεβείας ὑποφήτης ἱερός, καὶ Ἀποστόλων ὁμότροπος, ἀνεδείχθης Σωσίπατρε· θεορρήμονι γὰρ γλώσσῃ μυσταγωγῶν τὰ κρείττονα, σκεύη ἐκλεκτὰ κατηρτίσω Κυρίῳ, τοὺς δεξαμένους τὸν λόγον σου· καὶ σὺν τῷ θείῳ Ἰάσονι, τὸν καλὸν ἀνύσας δρόμον, σὺν αὐτῷ πρέσβευε, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς Παναγία Παρθένε.

Ἀπόστιχα

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Παύλῳ τῷ ἱερῷ, μαθητευθεὶς θεόφρον, τὰ θεῖα ἐμυήθης, καὶ τοῦ Σωτῆρος ὤφθης, Σωσίπατρε Ἀπόστολος.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ...

Βέρροια εὐλαβῶς, Σωσίπατρε τιμᾷ σε, τοῖς σοῖς ἐγκαυχωμένη, σπαργάνοις καὶ τῇ δόξῃ, ἣν ἐκ Χριστοῦ ἐπλούτησας.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ...

Χαίροις δυὰς σεπτή, τῶν θείων Ἀποστόλων, Σωσίπατρε παμμάκαρ, Ἰάσων τε θεόφρον, τοῦ Πνεύματος κειμήλια.

Δόξα. Τριαδικόν.

Αἴγλῃ Τριαδικῇ, λαμπόμενος ἀΰλως, Σωσίπατρε ὁ μέγας, ψυχὰς καταφωτίζει, τῷ λόγῳ τῷ τῆς χάριτος.

www.tezaurliturgic.ro



Καὶ νῦν. Θεοτοκίον.

Λόγος ὁ τοῦ Θεοῦ, τεχθεὶς ἐκ σοῦ ἀφράστως, Παρθένε, Θεοτόκε, Σωσίπατρον τὸν θεῖον, οἰκεῖον μύστην ἔδειξε.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὰ Ἀπολυτίκια ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ ἀπόλυσις.



www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὡς τοῦ Παύλου δεξάμενος, τὸ οὐράνιον κήρυγμα, Ἀποστόλων σύσκηνος ἐχρημάτισας, καὶ τῶν γηΐνων ὑπέρτερος, καὶ πλήρης ἐλλάμψεως, καὶ προσήγαγες Χριστῷ, σεσωσμένους τῷ λόγῳ σου, πλείστους Ἅγιε· διὰ τοῦτο Σωσίπατρε τρισμάκαρ, ἐκτελοῦντές σου τὴν μνήμην, τοὺς σοὺς ἀγῶνας γεραίρομεν.

Ὡς τῆς χάριτος ὄργανον, καὶ Χριστοῦ μύστης ἔνθεος, ἐν Βερροίᾳ ἔνδοξε διηκόνησας, Παύλῳ τῷ θείῳ Σωσίπατρε, καὶ χαίρων κατέλαβες, τὴν Ἀσίαν μετ' αὐτοῦ, ὡς ἀγάπης ἀνάπλεως, Ἰκονίου δέ, ποιμενάρχης καὶ λύχνος φωτοφόρος, γεγονὼς πάντας φωτίζεις, διδασκαλίᾳ τῆς πίστεως.

Ἐν Κερκύρᾳ διέλαμψας, σὺν τῷ θείῳ Ἰάσονι, εὐσεβείας χάρισι λαμπρυνόμενος, καὶ σὺν αὐτῷ ἀνεκήρυξας, ἐν ταύτῃ Σωσίπατρε, τοῦ Σωτῆρος τὴν φρικτήν, καὶ ἀπόρρητον κένωσιν, καὶ τοῖς θαύμασι, βεβαιώσας τὸν λόγον θεορρῆμον, δι' ἀγώνων μαρτυρίου πρὸς τὸν Χριστὸν ἀνελήλυθας.

Τῆς Βερροίας τὸ καύχημα, καὶ λαμπρὸν ἐγκαλλώπισμα, τὸν κλεινὸν Σωσίπατρον μακαρίσωμεν, μυσταγωγὸν τὸν θεόσοφον, τῆς θείας σαρκώσεως, καὶ ψυχῶν φωταγωγόν, καὶ διδάσκαλον ἔνθεον, θείων πράξεων, καὶ Ἀπόστολον μέγαν τοῦ Σωτῆρος, καὶ μεσίτην ἡμῶν θεῖον, πρὸς τὸν Φιλάνθρωπον Κύριον.

www.tezaurliturgic.ro



Τὴν δυάδα τὴν πάνσεπτον, τῆς Τριάδος τοὺς κήρυκας, καὶ τῆς θείας πίστεως τοὺς ἐκφάντορας, τὸν ἐκ Ταρσοῦ ἀναλάμψαντα, Ἰάσονα μέλψωμεν, καὶ Σωσίπατρον ὁμοῦ, τῆς Βερροίας τὸ βλάστημα τὸ περίδοξον, τοὺς τοῦ Παύλου τοῦ θείου συνεκδήμους, συνεργοὺς καὶ διακόνους, καὶ ὑποφήτας τῆς χάριτος.

Ἐξ Ἑώας Ἀπόστολε, πρὸς τὴν Δύσιν ἀνέδραμες, καὶ τὸ Εὐαγγέλιον ἀνεκήρυξας, ἐν τῇ Κερκύρᾳ Σωσίπατρε, ὁμοῦ σὺν Ἰάσονι, καὶ τὸν δρόμον τὸν καλόν, ἐν αὐτῇ δι' ἀθλήσεως, χαίρων ἤνυσας, καὶ τῆς ἄνω ἐπέβης εὐκληρίας, σὺν Ἰάσονι τῷ θείῳ, ὑπὲρ ἡμῶν ἱκετεύοντες.

Δόξα. Ἦχος πλ. β'.

Σήμερον ἡ τοῦ Ἀποστόλου Σωσιπάτρου μνήμη, τῶν πιστῶν τὰς χορείας συνεγείρει, πρὸς αἶνον καὶ δόξαν Χριστοῦ τοῦ Θεοῦ· τούτου γὰρ τὸν ζυγὸν ἀράμενος, τοῦ Εὐαγγελίου τῆς εἰρήνης, μυσταγωγεῖ τὰς χάριτας, καὶ φωτὶ θαυμάτων, καταυγάζει τοὺς βοῶντας· χαίροις, ὁ τῷ σκεύει τῆς ἐκλογῆς συνδεθείς, καὶ παρ' αὐτοῦ τὰ ὑπὲρ λόγον μυηθείς, ὡς καθαρὸς τὴν καρδίαν· χαίροις, ὁ Ἰκονίου ποιμήν, καὶ τῆς ἐν Κερκύρᾳ Ἐκκλησίας, κῆρυξ καὶ διδάσκαλος, σὺν τῷ θείῳ Ἰάσονι· χαίροις, ὁ τῆς Βερροίας φοῖνιξ ὑψίκομος, ὁ τοῖς καρποῖς τῶν λόγων, τῶν εὐσεβῶν διατρέφων τὰς ψυχάς. Ἀλλ' ὦ παμμάκαρ Ἀπόστολε, τῷ Διδασκάλῳ Χριστῷ πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Καθολικῆς α'. Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγνωσμα.

(Κεφ. α'. 13-19)

Ἀγαπητοί, ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας ἡμῶν, νήφοντες, τελείως ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν, ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ· ὡς τέκνα ὑπακοῆς, μὴ συσχηματιζόμενοι ταῖς πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις· ἀλλὰ κατὰ τὸν καλέσαντα ἡμᾶς ἅγιον, καὶ αὐτοὶ ἅγιοι, ἐν πάσῃ ἀναστροφῇ γενήθητε· διότι γέγραπται· ἅγιοι γίνεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι. Καὶ εἰ πατέρα

www.tezaurliturgic.ro



ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε, εἰδότες, ὅτι οὐ φθαρτοῖς, ἢ ἀργυρίῳ, ἢ χρυσίῳ ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς πατροπαραδότου, ἀλλὰ τιμίῳ αἵματι, ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ.

Καθολικῆς α΄. Ἐπιστολῆς Ἰωάννου τὸ Ἀνάγνωσμα.
(Κεφ. δ΄. 20 - ε΄. 5)

Ἀγαπητοί, ἐάν τις εἴπῃ, ὅτι ἀγαπῶ τὸν Θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν· ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακε, τὸν Θεὸν ὃν οὐχ ἑώρακε, πῶς δύναται ἀγαπᾶν; Καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεόν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ. Πᾶς ὁ πιστεύων, ὅτι Ἰησοῦς ἐστὶν ὁ Χριστός, ἐκ τοῦ Θεοῦ γεγέννηται· καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα, ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ. Ἐν τούτῳ γινώσκομεν ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ Θεοῦ, ὅταν τὸν Θεὸν ἀγαπῶμεν, καὶ τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. Αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ Θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν, καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν. Ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ, νικᾷ τὸν κόσμον· καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν. Τίς ἐστιν ὁ νικῶν τὸν κόσμον, εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ;

Καθολικῆς α΄. Ἐπιστολῆς Ἰωάννου τὸ Ἀνάγνωσμα.
(Κεφ. δ΄. 11-16)

Ἀγαπητοί, εἰ οὕτως ὁ Θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν. Θεὸν οὐδεὶς πώποτε τεθέαται· ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν. Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν, ὅτι ὁ Πατὴρ ἀπέσταλκε τὸν Υἱὸν αὐτοῦ Σωτῆρα τοῦ κόσμου. Ὃς ἂν ὁμολογήσῃ, ὅτι Ἰησοῦς ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ. Καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην, ἣν ἔχει ὁ Θεὸς ἐν ἡμῖν. Ὁ Θεὸς ἀγάπη ἐστί, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ.

www.tezaurliturgic.ro



Εἰς τὴν Λιτήν, Ἰδιόμελα.

Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ, ἡ πόλις Βερροίας, τὸν Ἀπόστολον Σωσίπατρον, περιφανῶς ἐνεγκαμένη· ἐκ σοῦ γὰρ ἐβλάστησε, καὶ Ἀποστολικοῖς καμάτοις, τῆς εὐσεβείας τὸ μυστήριον, πᾶσι κηρύττει· τοῦ γὰρ θείου Παύλου, καταυγασθεὶς τῷ φωτί, τοὺς ἐν σκότει τῆς πλάνης φωταγωγεῖ, ἀκτῖσι τοῦ κηρύγματος, καὶ υἱοὺς Θεοῦ ἀπεργάζεται, τοὺς πρὶν τέκνα ὀργῆς χρηματίζοντας· καὶ ἀθλητικῶς Χριστὸν δοξάσας, τῆς αἰωνίου δόξης ἠξίωται, ἱλασμὸν ἡμῖν αἰτούμενος, καὶ τὸ μέγα ἔλεος.

Ἦχος β΄.

Τῷ οὐρανοφοίτῃ Παύλῳ, μαθητευθεὶς ἱερῶς, οὐρανίου σοφίας ἐπλήσθης, τῶν γηΐνων ἀποστάς, Ἀπόστολε Σωσίπατρε· καὶ σὺν αὐτῷ ἐξῆλθες, τῆς αἰωνίου ζωῆς εὐαγγελιζόμενος τὸν λόγον, καὶ πρὸς θεογνωσίαν ἐπιστρέφων, τοὺς ἐν ὁδῷ πορευομένους πλάνης· τὸ γὰρ Παράκλητον Πνεῦμα, Θεῖον στόμα σε ἀνέδειξε, καὶ τῆς ἐν Χριστῷ ζωῆς ὑποφήτην, καὶ δογμάτων θείων κήρυκα· καὶ καλῶς διαγαγών, τὴν πιστευθεῖσαν δωρεάν, ὡς προσφορὰ εὐπρόσδεκτος, προσηνέχθης Κυρίῳ, τῷ πυρὶ τελειωθείς. Ἀλλ' ὦ Μάρτυς καὶ Ἀπόστολε, καὶ μύστα τῆς χάριτος, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σε.

Ἦχος γ΄.

Ἀποστολικὴν ἐκλάμπων λαμπρότητα, τῆς ἐν Ἰκονίῳ Ἐκκλησίας, ὑφηγητὴς θεόσοφος, καὶ ὁδηγὸς σωτήριος, ἀνεδείχθης θεορρῆμον Σωσίπατρε· τῷ γὰρ νυμφίῳ Χριστῷ, οἷα νύμφην ταύτην προσήγαγες, ταῖς σαῖς παραινέσεσι· καὶ θείῳ Πνεύματι κινούμενος, ἐν Κερκύρᾳ ἐπέστης, σὺν τῷ συναποστόλῳ καὶ συνάθλῳ Ἰάσονι· καὶ ἐν αὐτῇ ξένων ἔργων αὐτουργὸς γεγονώς, λαὸν Θεοῦ περιούσιον ἔδειξας, τοὺς τῇ πλάνῃ λατρεύοντας· διὸ ἀξίων ἐπάθλων μέτοχος ὤφθης, καὶ τῆς ἄνω βασιλείας κληρονόμος γέγονας, σὺν τῷ θείῳ Ἰάσονι· μεθ' οὗ ἀεὶ πρέσβευε, δοῦναι ἡμῖν πταισμάτων ἄφεσιν.

www.tezaurliturgic.ro



Ἦχος δ΄.

Τῷ θείῳ Παύλῳ διακονῶν, ἐν Βερροίᾳ τοῦτον ἐδέξω, ὡς μεσίτην τῆς πρὸς Χριστὸν οἰκειώσεως, καὶ στόμα θεῖον, καὶ σωτηρίας αἰωνίου ὑποφήτην· καὶ σὺν αὐτῷ ἀναστρεφόμενος, τύπος καὶ ὑπόδειγμα, τῶν ἐν αὐτῇ πιστῶν ὡράθης, ἐν ἔργοις καὶ λόγοις, καὶ θεαρέστοις πράξεσιν. Ἀλλ', ὦ Ἀπόστολε Σωσίπατρε, Βερροιαίων κλέος, μὴ παύσῃ σκέπων καὶ φρουρῶν, τὴν ἐναγκαμένην σε πόλιν, ταῖς πρὸς Χριστὸν πρεσβείαις σου.

Δόξα. Ὁ αὐτός.

Τὸν ἐν Ἀποστόλοις Μάρτυρα, καὶ ἐν Ἀθληταῖς θεοειδῆ Ἀπόστολον, Σωσίπατρον, τὸν μέγον, ᾀσματικοῖς ἐγκωμίοις εὐφημήσωμεν· ἐλλαμφθεὶς γὰρ τῷ πυρὶ τοῦ Παρακλήτου, γλῶσσαν πυρίπνοον ἐπλούτησεν, ὡς τοῦ σκεύους τῆς ἐκλογῆς, μαθητὴς καὶ σύσκηνος· καὶ τῆς μὲν πλάνης τὴν ὕλην, εἰς τέλος ἠνάλωσε, τὰς δὲ ἐσκοτισμένας ψυχὰς ἐφώτισε, πρὸς ἀληθῆ θεογνωσίαν· ὁλικῶς γὰρ Κυρίῳ ὑπείκων, Εὐαγγελικῶν ἀρετῶν γεωργεῖ τοὺς καρπούς, καὶ πρεσβεύει ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ τῆς Βερροίας βλαστός, Εὐαγγελίου τὸ θεόπνευστον ὄργανον· ὁ Παύλου τῷ θείῳ λόγῳ, καταυγασθεὶς τὴν ψυχήν, καὶ υἱοθεσίας τυχὼν κρείττονος. Σωσίπατρε ἔνδοξε, Ἀποστόλων συνόμιλε, τῆς εὐσεβείας, ὑποφῆτα θεόσοφε, στόμα ἔνθεον, διδαγμάτων τῆς χάριτος· ῥεῖθρον τὸ διειδέστατον, τῆς θείας χρηστότητος, τὸ καταρδεῦον καρδίας, τῇ ἐπομβρίᾳ τοῦ Πνεύματος· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ...

Παύλῳ μαθητευθεὶς τῷ σοφῷ, τῆς ἐν Χριστῷ οἰκονομίας μεμύησαι, Σωσίπατρε θηγόρε, τὸ ὑπὲρ λόγον καὶ νοῦν, μυστήριον μέγα καὶ ἀπόρρητον· καὶ πόθῳ τοῖς ἴχνεσι, τοῖς αὐτοῦ ἠκολούθησας, ἀπὸ Βερροίας, εἰς Ἀσίαν Ἀπόστολε, τῶν δεσμῶν αὐτῷ, κοινωνῶν καὶ τῶν θλίψεων· ὅθεν σὺν τῷ Ἰάσονι, τῷ θείῳ κατέλαβες, τῶν Κερ-

www.tezaurliturgic.ro



κυραίων τὴν νῆσον, καὶ πίστει ταύτην ηὐγάσατε. Καὶ νῦν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ θεῖον ἔλεος.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ...

Λόγῳ τῆς ἀληθείας σοφῷ, τῆς ἀλογίας διαλύων τὴν ζόφωσιν, προσάγεις Χριστῷ τῷ Λόγῳ, ὡς προσφορὰν λογικήν, τοὺς προσδεξαμένους τὸ σὸν κήρυγμα· ἐντεῦθεν ὡμίλησας, πειρασμοῖς τε καὶ θλίψεσι, καὶ μαρτυρίου, διανύσας τὸν δίαυλον, διπλοῦν στέφανον, ἐκ χειρὸς Χριστοῦ εἴληφας. Ὅθεν σε μακαρίζομεν, ὡς θεῖον Ἀπόστολον, τῶν Βερροιαίων τὰ στίφη, καὶ συμπολίτην καὶ καύχημα, Σωσίπατρε μάκαρ, ἐκτελοῦντές σου τὴν μνήμην, τὴν ἀεισέβαστον.

Δόξα. Ἦχος πλ. δ΄.

Τῆς εὐσεβείας γεωργός, Πνεύματι Ἁγίῳ γενόμενος, κεχερσωμένας ψυχάς, ἐνεούργησας, πρὸς εἰσδοχὴν τῶν κρειττόνων, θεηγόρε Ἀπόστολε· καὶ τῆς πλάνης τὴν ἄκανθαν, τμητικῷ σου λόγῳ ἀποτεμών, τὸν σπόρον τῆς πίστεως ἐκαλλιέργησας, πρὸς καρποφορίαν, Εὐαγγελικῆς λαμπρότητος. Καὶ νῦν μάκαρ Σωσίπατρε, σὺν τῷ κλεινῷ Ἰάσονι πρέσβευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, καὶ τὰ Ἀπολυτίκια.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τῷ λόγῳ τῆς χάριτος, καταυγασθεὶς τὴν ψυχήν, τοῦ Παύλου συνόμιλος, καὶ τοῦ Χριστοῦ μαθητής, ἐδείχθης Σωσίπατρε· Ὅθεν σε τῆς Βερροίας, μακαρίζει ἡ πόλις, κλέος σε κεκτημένη, πρὸς Θεὸν καὶ μεσίτην· ἐκ ταύτης γὰρ Ἀπόστολε, ὡς φοῖνιξ ἐξήνθησας.

Ἕτερον Ὅμοιον.

Ἀγάλλεται Βέρροια, ἐν σοὶ Σωσίπατρε, ὡς θεῖος Ἀπόστολος, ὑποδεχθεὶς τῇ ψυχῇ, τὴν χάριν τοῦ Πνεύματος· ἔλαμψας ἐν τῷ κόσμῳ, ὡς ἀστὴρ ἑωσφόρος, ἔλυσας τῶν εἰδώλων, τὴν πολύθεον νύκτα καὶ νῦν ἀπαύστως δυσώπει, ὑπὲρ ἡμῶν τῶν ὑμνούντων σε.

(† Β. Π.)

Καὶ τὸ τῆς Ἑορτῆς.

Ἀ π ό λ υ σ ι ς.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν Τάφον σου Σωτήρ.

Ὡς μύστην τοῦ Χριστοῦ, καὶ συνέκδημον Παύλου, καὶ σκεῦος ἐκλεκτόν, οὐρανίων χαρίτων, Ἀπόστολε Σωσίπατρε, Βερροιεῖς σε γεραίρομεν, καὶ βοῶμέν σοι· ῥῦσαι τὴν πόλιν σου ταύτην, πάσης θλίψεως, καὶ πειρασμῶν ἀδοκήτων, λιταῖς σου πρὸς Κύριον.

Καὶ τὸ τῆς Ἑορτῆς.

Μετὰ τὴν β΄. Στιχολογίαν, Κάθισμα.

Ἦχος γ΄. Θείας πίστεως.

Θείας πίστεως, τῇ φωταυγείᾳ, σκότος ἔλυσας, πολυθεΐας, θαυματουργῶν ἐν Κυρίῳ Ἀπόστολε, καὶ σὺν Ἰάσονι μάκαρ Σωσίπατρε, ἐν τῇ Κερκύρᾳ Χριστὸν ἐκηρύξατε. Καὶ νῦν, ἄφεσιν, πρεσβεύσατε δοῦναι ἅπασι, τοῖς μέλπουσιν ὑμῶν τὰ θεῖα σκάμματα.

Καὶ τὸ τῆς Ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Παρακλήτου τὴν χάριν πεπλουτηκώς, καὶ σοφίας τὴν δύναμιν ἐσχηκώς, ἐξῆλθες εἰς τὸ κήρυγμα, σὺν τῷ θείῳ Ἰάσονι, παρὰ τοῦ θείου Παύλου, σταλέντες Ἀπόστολοι, τὰ ἔθνη ἐπιστρέφειν, πρὸς γνῶσιν σωτήριον· ὅθεν καὶ ἀθλήσει, τὸν σὸν βίον σφραγίσας, τῆς δόξης τὸν στέφανον, ἐκ Κυρίου ἀπείληφας, θεηγόρε Σωσίπατρε, πρεσβεύων ἐκτενῶς τῷ Χριστῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

www.tezaurliturgic.ro



Καὶ τὸ τῆς Ἑορτῆς.

Τὸ α΄. ἀντίφωνον τοῦ δ΄. ἤχου καὶ τὸ Προκείμενον.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ...

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ....

Εὐαγγέλιον κατὰ Λουκᾶν.

«Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· ὁ ἀκούων ὑμῶν...».

Ζήτει τῇ η΄. Νοεμβρίου.

Ὁ Ν΄ Δόξα. Ταῖς τοῦ Ἀποστόλου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Τῷ Εὐαγγελίῳ τῆς ζωῆς, πιστῶς, λειτουργήσας, καὶ τῷ αἵματι Χριστῷ, ψυχὰς σημειωσάμενος, ἀθλητικῶς πρὸς αὐτὸν ἐξεδήμησας, Ἀπόστολε Σωσίπατρε· ὅλον γὰρ σαυτόν, τῇ θείᾳ εὐδοκίᾳ δεδωκώς, τῶν μυστηρίων τῆς χάριτος ἔνθους ὑπηρέτης, καὶ θεῖος οἰκονόμος ὤφθης· Καὶ νῦν τὰς ἀμοιβὰς τῶν πόνων δρεπόμενος, ἱκέτευε ὑπὲρ τῶν ὑμνούντων σε.

Ὁ ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν...

Εἶτα οἱ κανόνες, τῆς Ἑορτῆς καὶ τοῦ Ἁγίου φέρων τήνδε ἀκροστιχίδα.

«Τὸν ἱερὸν Σωσίπατρον μέλπω. Γερασίμου».

Ὠδὴ α΄ Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου

Τριάδος τὴν ἔλλαμψιν, ὡς θεηγόρος Ἀπόστολος, Σωσίπατρε ἔνδοξε, λαμπρῶς δεχόμενος, φῶς μοι βράβευσον, καὶ λόγον ταῖς εὐχαῖς σου, ὡς ἄν σου τὰ σκάμματα, μέλψω γηθόμενος.

Ὁ Παῦλος ὁ μέγιστος, τῆς οἰκουμένης ὁ ἥλιος, φωτὶ καταυγάσας σε, θεῖε Σωσίπατρε, λύχνον πάμφωτον, δεικνύει σε τῷ κόσμῳ, ἀκτῖσι τῆς πίστεως, ψυχὰς αὐγάζοντα.

Ναμάτων τῆς χάριτος, ἐμφορηθεὶς θείῳ Πνεύματι, φοιτήσας Σωσίπατρε, τῷ σκεύει τῆς ἐκλογῆς, πηγὴν ἔμβλυσας, δογμάτων σωτηρίων, καὶ πλείστους κατήρδευσας, τῷ θείῳ λόγῳ σου.

www.tezaurliturgic.ro



Θεοτοκίον

Ἰσχύν μοι χορήγησον, κατὰ παθῶν τῶν θλιβόντων με, ἡ κόσμῳ κυήσασα, Χριστὸν τὸν Κύριον, καὶ κατάβαλε, τὸν κατ' ἐμοῦ ὁρμῶντα, ἐχθρὸν τὸν ἀόρατον, Κόρη Πανύμνητε.

Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Εὑρών σε Σωσίπατρε ὁ Παῦλος, κομῶντα ἐν ἔργοις ἀγαθοῖς, Χριστῷ σε καθωδήγησε, καὶ τῆς αὐτοῦ σαρκώσεως, Ἀπόστολον καὶ κήρυκα, καὶ ὑπηρέτην ἀνέδειξε.

Ῥωννύμενος θείᾳ δυναστείᾳ, ὑπέρτερος ὤφθης τῶν φθαρτῶν, καὶ τοῦ Χριστοῦ τῷ ἔρωτι, πτερούμενος Σωσίπατρε, ἀρότρῳ τῷ τῆς πίστεως, ψυχὰς πολλὰς ἐνεούργησας.

Ὁ πλήρης ἐλλάμψεως τῆς θείας, ὡς θεῖος Ἀπόστολος Χριστοῦ, Σωσίπατρος ὁ πάνσοφος, Βερροίας τὸ ἀγλάϊσμα, καὶ στήριγμα ὑμνείσθω μοι, χαρμονικοῖς μελωδήμασι.

Θεοτοκίον

Ναὸς φωτοφόρος ἀνεδείχθης, καὶ θρόνος πυρίμορφος Θεοῦ, τοῦ προελθόντος Ἄχραντε, ἐκ τῶν ἁγνῶν αἱμάτων σου, ὃν ἐκτενῶς ἱκέτευε, σῶσαι τοὺς σὲ μεγαλύνοντας.

Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἀκτῖσι τῆς χάριτος, φωταγωγῶν τὰς ψυχάς, τὸ σκότος ἀπήλασας, τῆς ἀγνωσίας μακράν, Σωσίπατρε ἔνδοξε. ὤφθης τῶν ἐν Κερκύρᾳ, ὁδηγὸς πρὸς τὰ κρείττω, λύσας παθῶν ὀδύνας, ὡς Ἀπόστολος θεῖος· διό σου τὴν ἁγίαν μνήμην ἑορτάζομεν.

Καὶ τὸ τῆς Ἑορτῆς.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Συγγενὴς ὤφθης τῇ πίστει, καὶ τῷ λόγῳ καὶ χάριτι, ἐκλογῆς τοῦ σκεύους, τούτῳ κοινωνήσας Σωσίπατρε, μεθ' οὗ κηρύξας Χριστοῦ τὴν συγκατάβασιν, χαίρων ἔψαλλες· δόξα Χριστὲ τῇ δυνάμει σου.

www.tezaurliturgic.ro



Ὥσπερ ἄστρον φωτοφόρον, σὺν τῷ θείῳ Ἰάσονι, ἀπὸ τῆς Ἑώας, ἔλαμψας ἐν Δύσει Σωσίπατρε, καὶ Κερκυραίων τὸν δῆμον προσενήνοχας, θείοις λόγοις σου, τῷ Βασιλεῖ πάσης κτίσεως.

Συστροφῆς κατὰ τοῦ Παύλου, γενομένης Σωσίπατρε, ἐν Θεσσαλονίκῃ, τοῦτον ἐν Βερροίᾳ τῇ πόλει σου, καθυπεδέξω καὶ ὅλην ἐν καρδίᾳ σου, ὑποδέδεξαι, τὴν παρ' αὐτοῦ θείαν ἔλλαμψιν.

Θεοτοκίον

Ἰησοῦν τὸν Ζωοδότην, καὶ Θεὸν πάσης κτίσεως, ἀστενοχωρήτως, Κόρη ἐν νηδύϊ ἐχώρησας, στενοχωρίας παθῶν ἀπολυτρούμενον, τοὺς τὸν τόκον σου, τὸν ὑπὲρ φύσιν δοξάζοντας.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Πληγαῖς προσομιλήσας, ὑπὲρ Χριστὸν Ἀπόστολε, πλήξας τὸν Βελίαρ τοῖς σοῖς λόγοις, καὶ ὡς θυσία προσήχθη ἄμωμος, ἐν πυρὶ τελέσας τὴν ζωήν, τῷ Χριστῷ Σωσίπατρε, θείῳ πόθῳ φλεγόμενος.

Ἀγάλλεται Βέρροια, ἡ σὴ πατρὶς Σωσίπατρε, Ἀποστολικῇ σου εὐκληρίᾳ, καὶ τὴν ἁγίαν σου μνήμην ἄγουσα, κράζει ἐκ βαθέων σοι ψυχῆς· πάσης περιστάσεως, ἀσινῆ με διάσωσον.

Τοῦ Παύλου τοῖς ἴχνεσιν, ἑπόμενος Ἀπόστολε, σὺν αὐτῷ μετέβης ἐκ Βερροίας, πρὸς τὴν Ἀσίαν καὶ Ἰκονίου ποιμήν, παρ' αὐτοῦ κατέστης ὡς φωτός, θείου ἐνδιαίτημα, καὶ σοφίας κειμήλιον.

Θεοτοκίον

Ῥανίσι Πανάμωμε, τῶν οἰκτιρμῶν σου ἄρδευσον, τὴν κεχερσωμένην μου καρδίαν, τῇ ἐπιθέσει τοῦ ἀρχεκάκου ἐχθροῦ, ὅπως μετανοίας τοὺς καρπούς, ἐξενέγκη Δέσποινα, πρὸς ζωὴν τὴν αἰώνιον.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Ὅλον τὸν νοῦν σου ἀνέτεινας, πρὸς μόνον ἐφετῶν τὸ ἀκρότατον, Παύλου τοῖς ῥήμασι, θεοπρεπῶς παιδευόμενος, ὑπεριδὼν τὰ κάτω, μάκαρ Σωσίπατρε.

www.tezaurliturgic.ro



Νόμου τοῦ θείου τῆς χάριτος, σοφὸς καταγγελεὺς ἐχρημάτισας, θεῖε Σωσίπατρε, ἔνθεν ριζόθεν ἀνέσπασας, ἀκάνθας ἀνομίας, θείῳ κηρύγματι.

Μέγιστον κλέος σε κέκτηται, Κερκύρας Ἐκκλησία Σωσίπατρε, πλέον δὲ γάνυται, ἡ σὲ βλαστήσασα Βέρροια, αἷς δίδου οὐρανόθεν, τὴν εὐλογίαν σου.

Θεοτοκίον

Ἐκ τῶν ἀχράντων αἱμάτων σου, λαβὼν ἡμῶν ἀτρέπτως τὸ φύραμα, ὁ Ὑπερούσιος, κόσμῳ ὡράθη ὡς ἄνθρωπος, Παρθένε Θεοτόκε, καὶ πάντας ἔσωσε.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τοῖς τοῦ Παύλου ῥήμασι διηυγασμένος, τοῦ Χριστοῦ Ἀπόστολος καὶ ὑπηρέτης ἀληθής, ὤφθης παμμάκαρ Σωσίπατρε, καὶ δι' ἀθλήσεως τοῦτον ἐδόξασας.

Ὁ Οἶκος.

Τῆς ἐν Χριστῷ ἀληθείας τὸ φῶς, ἐπιλάμψαν ἐν τῇ ψυχῇ σου, ὡς τοῦ οὐρανοβάμονος ἀκηκοότος Παύλου, λύχνον σε φαεσφόρον ἀνέδειξε, καὶ μύστην Εὐαγγελίου ἐνθεώτατον, καὶ ἐναρέτου ζωῆς ὑποφήτην, καὶ Ἀποστόλων τῶν θείων ζηλωτὴν καὶ ὁμότροπον, Σωσίπατρε μακάριε, ἔνθεν τῷ σκεύει τῆς ἐκλογῆς συνδεθείς, ἐμυήθης παρ' αὐτοῦ τὰ ὑπὲρ λόγον, καὶ σὺν τῷ θείῳ Ἰάσονι, τῷ ὁμοψύχῳ ἐν πᾶσι, τὸν λόγον τῆς πίστεως ἐκ Κερκύρας ἐκηρύξατε, καὶ τὴν ἐκεῖ Ἐκκλησίαν, ὅλην καθαρὰν καὶ ἄμωμον Κυρίῳ παρεστήσατε, διδαχαῖς καὶ πράξεσι καὶ θαυμάτων περιουσίᾳ· διὸ καὶ Βέρροια, ἡ ἐναγκαμένη σε πόλις, ἐν σοὶ χαίρει, καὶ πόθῳ βοᾷ· Χριστὸν ὑπὲρ ἡμῶν ἱκέτευε Ἀπόστολε· διὰ πόνων γὰρ ἀθλήσεως τοῦτον ἐδόξασας.

Συναξάριον.

Τῇ κθ´ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου Σωσιπάτρου, ἑνὸς ἐκ τῶν Ἑβδομήκοντα, ἐκ Βερροίας τῆς Μακεδονίας καταγομένου.

www.tezaurliturgic.ro



Στίχ. Σωσίπατρος χάριτι τοῦ Παρακλήτου.
Ἀπόστολος πέφηνε Χριστοῦ καὶ κῆρυξ.
Εἰκάδι Σωσίπατρος ἐνάτῃ πέφλεκται πυρὶ λαύρῳ.

Οὗτος ἦν ἐκ Βερροίας τῆς ἐν Μακεδονίᾳ, Σώπατρος ἢ Σωσίπατρος καλούμενος. Πιστεύσας τῷ Χριστῷ, καταυγασθεὶς τῷ κηρύγματι τοῦ θείου Παύλου, πρῶτος τῶν ἐν πόλει ταύτῃ τῶν προσελθόντων τῷ Κυρίῳ ἐχρημάτισεν. Ἐδέξατο ἐν Βερροίᾳ τὸν οὐρανοφοίτην Παῦλον, διὰ τὴν ἐν Θεσσαλονίκῃ γενομένην κατ' αὐτοῦ ἐπιβουλήν, μεθ' οὗ καὶ συνεδέθη, καὶ ἠκολούθησεν αὐτῷ, πρὸς Ἀσίαν χωροῦντι, ἔνθα κεχειροτόνηται Ἰκονίου ἐπίσκοπος. Ἐκεῖθεν, σὺν τῷ συναποστόλῳ Ἰάσονι, καταλαβόντες τὴν τῶν Κερκυραίων νῆσον, Εὐαγγελικῷ φωτὶ τοὺς ἐν αὐτῇ κατηύγασαν, καὶ πρῶτοι τῆς ἐκεῖσε ἁγίας Ἐκκλησίας ἱδρυταὶ καὶ μυσταγωγοὶ καὶ κήρυκες ὤφθησαν. Ὁ δὲ μακάριος Ἀπόστολος Σωσίπατρος καλῶς τὸν ἀποστολικὸν δρόμον τελέσας, μαρτυρικῷ τέλει, διὰ πυρὸς πρὸς Χριστὸν ἐξεδήμησε. Τούτου μνεία γίνεται ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων, ἔνθα Σώπατρος κέκληται (Κεφ. κ΄. 4), καὶ ἐν τῇ πρὸς Ρωμαίους Ἐπιστολῇ, ὅπου Σωσίπατρος καὶ συγγενὴς τοῦ Παύλου ὀνομάζεται (Κεφ. ιστ΄. 21).

Ταῖς αὐτοῦ πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ διασώσας ἐν πυρί.

Λάμπων φωτὶ τῶν ἀρετῶν, οἷάπερ Ἀπόστολος θεῖος, καταφωτίζεις τοὺς λαούς, τοὺς ἐν σκότει τῆς πλάνης καθεύδοντας, ἀνακράζων Σωσίπατρε· ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Πεποικιλμένος δωρεαῖς, ταῖς τοῦ Παρακλήτου θεόφρον, ποικίλων ῥύῃ πειρασμῶν, καὶ παθῶν τοὺς ἐκβοῶντας Σωσίπατρε· ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ὡς τοῦ πυρὸς τοῦ νοητοῦ, ἄνθραξ δροσοβόλος θεόφρον, τὴν τοῦ πυρὸς τοῦ αἰσθητοῦ, ὑπομένεις ἀνδρείως κατάφλεξιν, καὶ τὸ σῶμά σου ἄφλεκτον, τοῖς ποθοῦσί σε ἐδόθη χάριτι θείᾳ.

www.tezaurliturgic.ro



Θεοτοκίον

Γεγαυρωμένος ὁ ἐχθρός, κατ' ἐμοῦ καυχᾶται Παρθένε, ἀλλὰ κατάβαλε αὐτοῦ, τὴν ὀφρὺν καὶ τὸ θράσος καὶ σῶσόν με, τῆς αὐτοῦ ἐπιθέσεως, ἵνα πίστει σε δοξάζω δεδοξασμένη.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ἔλυσας δεσμῶν τῆς ἁμαρτίας, καὶ πίστεως τοῖς δεσμοῖς Χριστῷ συνέδησας, τοὺς τῷ σῷ κηρύγματι, μάκαρ πειθαρχήσαντας, Ἀπόστολε Σωσίπατρε, μεθ' ὧν καὶ ἔκραζες· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ῥώμην θεϊκὴν ἐνδεδυμένος, καὶ φέρων τοῦ Παρακλήτου φῶς τὸ ἄϋλον, ἔνδον ἐν καρδίᾳ σου, ὡς Χριστοῦ Ἀπόστολος, Σωσίπατρε μακάριε, κόσμον διέδραμες, τὴν λύτρωσιν κηρύττων τοῖς πᾶσι, τὴν γεγενημένην, Σταυρῷ τῷ τοῦ Κυρίου.

Αἵμασί σου θείοις κατεσβέσθη, ἡ κάμινος τῆς πολυθεΐας θείῳ Πνεύματι, καὶ πυρὶ τῶν ἄθλων σου, φῶς θεῖον προσέλαβον, θεογνωσίας Ἅγιε ὡς ἀκατάφλεκτον, ἰδόντες ἐν πυρί σου τὸ σῶμα, οἱ τῆς δυσσεβείας, μισήσαντες τὸν ζόφον.

Θεοτοκίον

Σκέπε καὶ διάσωζε Παρθένε, ἐκ πάσης ἐναντιότητος καὶ θλίψεως, τοὺς ὑπὸ τὴν σκέπην σου, ὁλοψύχως σπεύδοντας, καὶ αἴτει ἡμῖν ἄφεσιν τῶν παραπτώσεων, ὡς ἔχουσα πολλὴν παρρησίαν, πρὸς τὸν προελθόντα, ἐκ σοῦ ἀνερμηνεύτως.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ἴσχυσας σοφέ, δυνάμει τῇ ἄνωθεν ἐνδυναμούμενος, μετὰ τοῦ Ἰάσονος, ἐν τῇ Κερκύρᾳ λαὸν τὸν ἄπιστον, μεταβαλεῖν Σωσίπατρε εἰς σκεύη εὔχρηστα, ὑπουργίας, τοῦ θείου θελήματος· διὰ τοῦτο Χριστός σε ἐδόξασε.

Μύστης ἀληθής, τῆς θείας σαρκώσεως τοῦ Παντοκράτορος, καὶ θεῖος Ἀπόστολος, Εὐαγγελίου τούτου γενόμενος, Σωσίπατρε μακάριε εὐηγγελίσω ἡμῖν, αἰωνίου ζωῆς τὴν λαμπρότητα, ἣν Χριστὸς τοῖς πιστεύουσι δίδωσι.

www.tezaurliturgic.ro



Ὁ θεοειδής, Κυρίου Ἀπόστολος μάκαρ Σωσίπατρε, ῥῦσαι τὴν πατρίδα σου, πάσης ἀνάγκης καὶ περιστάσεως, καὶ τὸν παρόντα ὕμνον μου εὐμενῶς πρόσδεξαι, καὶ πταισμάτων, αἴτει μοι τὴν ἄφεσιν, καὶ ζωῆς αἰωνίου ἀπόλαυσιν.

Θεοτοκίον

Ὕμνοις ἱεροῖς, ὑμνοῦμέν σε Δέσποινα τὴν Ὑπερύμνητον· σὺ γὰρ σωματώσασα, δι' εὐσπλαγχνίαν τὸν πάντων Κύριον, τῆς πάλαι κατακρίσεως ἡμᾶς ἀπήλλαξας· διὰ τοῦτο, πάντες ἐκβοῶμέν σοι· χαῖρε κόσμου παντὸς ἱλαστήριον.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Τοῦ Παναγίου Πνεύματος, φωτισθεὶς τῇ ἐλλάμψει, Χριστοῦ θεῖος Ἀπόστολος καὶ διάκονος ὤφθης, Σωσίπατρε θεηγόρε, ὡς εὐθὺς τῇ καρδίᾳ· διό σε μακαρίζομεν, καὶ τὴν θείαν σου μνήμην χρεωστικῶς, ἐκτελοῦμεν σήμερον ἵνα λύσιν, πταισμάτων κομισώμεθα, πρὸς Χριστοῦ ταῖς λιταῖς σου.

Καὶ τὸ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους

Ἱστῶμεν στίχους δ΄, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τοῦ θεορρήμονος Παύλου ταῖς εἰσηγήσεσι, καταυγασθεὶς θεόφρον, καὶ ψυχὴν καὶ καρδίαν, Ἀπόστολος Κυρίου καὶ μαθητὴς ἀνεδείχθης περίδοξος. Ἀλλὰ μὴ παύσῃ πρεσβεύων ὑπὲρ ἡμῶν, τῶν τιμώντων σε Σωσίπατρε.

Τῆς θεοφθόγγου σου γλώσσης ὁ λόγος Ἅγιε, ὡς δρόσος οὐρανία, φλεγομένας καρδίας, Σωσίπατρε τρισμάκαρ πυρὶ τῶν παθῶν, ἀληθῶς κατεδρόσισεν· ὡς γὰρ Ἀπόστολος θεῖος τὸ τοῦ Χριστοῦ, Εὐαγγέλιον ἐκήρυξας.

Τοὺς ἐν Κερκύρᾳ φωτίσας σὺν τῷ Ἰάσονι, κηρύγματι τῷ θείῳ, καὶ θαυμάτων δυνάμει, ἐτέλεσας ἐν ταύτῃ διὰ πυρός, τὸν ἀγῶνα Σωσίπατρε, καὶ πρὸς τὸ φῶς τῆς ἀλήκτου χαίρων ζωῆς, ἀνελήλυθας Ἀπόστολε.

www.tezaurliturgic.ro



Τῶν Βερροιαίων τὰ στίφη πανηγυρίζουσι, τὴν ἱεράν σου μνήμην, ἐν ᾠδαῖς τε καὶ ὕμνοις, Σωσίπατρε παμμάκαρ καὶ ἐκ ψυχῆς, ἐκ βοῶσί σοι Ἅγιε· Σκέπε ἐκ πάσης ἀνάγκης καὶ συμφορᾶς, τὴν βλαστήσασάν σε Βέρροια.

Δόξα. Ἦχος πλ. α'.

Τὴν Ἀποστολικήν σου ζωήν, ἀθλητικῷ τέλει ἐλάμπρυνας, Χριστοκήρυξ Ἀπόστολε· τῷ γὰρ ἀρότρῳ τῆς πίστεως, τῶν ψυχῶν τέμνων τὰς αὔλακας, τοῦ μαρτυρίου στάχυν ἐκαρποφόρησας, ἐν σοφίᾳ θείᾳ, καὶ ψυχικῇ στερρότητι, τὸν ἀόρατον ἐχθρὸν καταγωνισάμενος· διὸ Κέρκυρα ἡ ὑπὸ σοῦ φωτισθεῖσα, κηρύττει τὴν χάριν σου, καὶ ἡ πατρίς σου Βέρροια, καυχᾶται τοῖς σπαργάνοις σου, τελοῦσαι ἄμφω τὴν μνήμην σου. Ἀλλ' ὦ Μάρτυς καὶ Ἀπόστολε, Σωσίπατρε Θεσπέσιε, πρέσβευε ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Δοξολογία μεγάλη καὶ ἀ π ό λ υ σ ι ς.

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ κανόνος τοῦ Ἁγίου ἡ γ´ καὶ στ´ ᾠδή.

Προκείμενον Ἀποστόλου.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ...

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ...

Πρὸς Ρωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοὶ παρακαλῶ ὑμᾶς σκοπεῖν τοὺς τὰς διχοστασίας...

Ζήτει τῇ Δευτέρᾳ τῆς στ´. Ἑβδομάδος.

Εὐαγγέλιον κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ, ἀνέδειξεν ὁ Κύριος καὶ ἑτέρους ἑβδομήκοντα Μαθητάς...

Ζήτει τῇ Παρασκευῇ τῆς ε´. Ἑβδομάδος Λουκᾶ.

Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ...

Μεγαλυνάριον.

Χαίροις τῆς Βερροίας σεπτὸς βλαστός, καὶ τῆς ἐν Κερκύρᾳ Ἐκκλησίας μυσταγωγός· χαίροις Παρακλήτου, Σωσίπατρε τὸ σκεῦος, Ἀπόστολε καὶ Μάρτυς τοῦ Παντοκράτορος.

Δίστιχον.

Γεράσιμος ὕμνησε τοὺς Σωσιπάτρου
Ὠδαῖς τε καὶ ἄσμασι λαμπροὺς ἀγῶνας.

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## Εἰς τὸν Ἅγιον Ἀπόστολον

## ΣΩΣΙΠΑΤΡΟΝ

Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος ὡς συνήθως καὶ τὸ ἑξῆς·

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς τοῦ Σωτῆρος Μαθητὴς θεηγόρος, πολλὴν ἐκτήσω πρὸς αὐτὸν παρρησίαν, Ἱερομάρτυς Ἅγιε Σωσίπατρε· ὅθεν ἀεὶ πρέσβευε, ἀπὸ πάσης ἀνάγκης, ῥύεσθαι δεόμεθα, καὶ παθῶν ἀκαθάρτων, καὶ τῶν ἐν βίῳ θλίψεων πικρῶν, τοὺς προσιόντας, τῇ θείᾳ πρεσβείᾳ σου.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

www.tezaurliturgic.ro



Ὁ Ν΄ καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς.
«Ἡ Σωσιπάτρου σκέπε με χάρις. Γερασίμου».
Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Ἡλίου ἀκτῖσι τοῦ νοητοῦ, Σωσίπατρε μάκαρ, τῆς ψυχῆς μου τὸν σκοτασμόν, ταῖς σαῖς φωτοφόροις ἱκεσίαις, λῦσον καὶ λάμψον μοι φῶς θείας χάριτος.

Σωτήριος φάνηθι τοῖς πιστοῖς, λιμὴν θεηγόρε, κατευνάζων ταῖς σαῖς λιταῖς, Σωσίπατρε σάλον ἁμαρτίας, καὶ θλιβομένοις γαλήνην δωρούμενος.

Ὡς θεῖος Ἀπόστολος τοῦ Χριστοῦ, Σωσίπατρε μάκαρ, καθικέτευε ἐκτενῶς, ὑπὲρ τῶν πίστει προσιόντων, τῶν πρεσβειῶν σου τῇ χάριτι Ἅγιε.

Θεοτοκίον

Σωτῆρα τεκοῦσα καὶ Λυτρωτήν, Χριστὸν Θεοτόκε, σωτηρίας με ταχινῆς, τὸν δεδουλωμένον τῇ ἀπάτῃ, καταξιῶσαι Παρθένε δυσώπησον.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ἰατρεύειν σωμάτων, καὶ τῶν ψυχῶν μώλωπας, χάριν ἐκ Θεοῦ δεδεγμένος· ὅθεν νοσοῦντά με, ποικίλοις πάθεσι, καὶ χαλεπαῖς ἁμαρτίαις, ἴασαι Σωσίπατρε, τῇ ἀντιλήψει σου.

Πειρασμῶν ἀδοκήτων, τοὺς εὐλαβῶς σπεύδοντας, τῇ σῇ θαυμαστῇ προστασίᾳ, ῥύου Σωσίπατρε, καὶ τὴν ζωὴν ἡμῶν, ἐπηρειῶν ὀλεθρίων, φύλαττε ἀπήμαντον, ὡς συμπαθέστατος.

Ἀσθενείαις παντοίαις, περιπεσὼν Ἅγιε, τῇ σῇ καταφεύγω πρεσβείᾳ, λύσιν αἰτούμενος, ἥν μοι χορήγησον, τῇ πρὸς Θεόν σου ἐντεύξει, καὶ χαρᾶς Σωσίπατρε, θείας με πλήρωσον.

Θεοτοκίον

Τὸν Θεὸν τῶν ἁπάντων, ὑπερφυῶς τέξασα, φύσιν τῶν βροτῶν τὴν πεσοῦσαν, ἐπανορθούμενον, Παρθένε Ἄχραντε, τὴν πεπτωκυῖαν ψυχήν μου, ἐκ βυθοῦ ἀνύψωσον, τῆς ματαιότητος.

www.tezaurliturgic.ro



Διάσωσον πάσης ἀνάγκης Σωσίπατρε θεηγόρε, τοὺς ἐν πίστει τῇ προστασίᾳ σου σπεύδοντας, ὡς δεδεγμένος πλουσίαν θεόθεν χάριν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ...

Αἴτησις καὶ τὸ Κάθισμα.

Ἦχος β΄. Πρεσβεία θερμή.

Πρεσβείᾳ τῇ σῇ, προστρέχοντες Σωσίπατρε, δεινῶν προσβολῶν, τοῦ ὄφεως ῥυσθείημεν, καὶ παντοίων θλίψεων, ἀσινεῖς τηρηθείημεν Ἅγιε· σὺ γὰρ προστάτης ἡμῶν ἀσφαλής, καὶ μέγας μεσίτης πρὸς τὸν Κύριον.

Ἦχος δ΄. Εἰσακήκοα Κύριε.

Ρῶσιν δίδου καὶ ἴασιν, τὴν κατὰ ψυχὴν καὶ σῶμα Ἀπόστολε, τοῖς προστρέχουσιν Σωσίπατρε, ταῖς σαῖς ἀντιλήψεσιν ἑκάστοτε.

Ὁ Χριστοῦ μύστης ἔνθεος, καὶ τῶν Βερροιαίων πρέσβυς πρὸς Κύριον, ἱερώτατε Σωσίπατρε, δέχου τὰς φωνὰς ἡμῶν δεόμεθα.

Ὑπὲρ πάντων ἱκέτευε, Ἅγιε Σωσίπατρε τὸν Φιλάνθρωπον, τῶν πταισμάτων λαβεῖν ἄφεσιν, τοὺς θερμὸν προστάτην κεκτημένους σε.

Θεοτοκίον

Σαρκωθεὶς ἐξ αἱμάτων σου, ὁ Θεὸς τῶν ὅλων δι' ἀγαθότητα, Θεοτόκε Ἀειπάρθενε, προστασίαν κόσμου σε ἀνέδειξε.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Κόπασον σοφέ, τῶν παθῶν ἄγρια κύματα, καὶ πρὸς ὅρμον θεϊκῆς ἐπισκοπῆς, τὴν ζωὴν ἡμῶν κατεύθυνον Σωσίπατρε.

Ἔπιδε ἡμῖν, οὐρανόθεν, ὦ Σωσίπατρε, καὶ παράσχου τὰς αἰτήσεις συμπαθῶς, τοῖς ἐν πίστει προσιοῦσι τῇ Εἰκόνι σου.

Πάσης ἀπειλῆς, δυσπραγίας τε καὶ θλίψεως, ἱερώτατε Σωσίπατρε ἀεί, διατήρει τὴν πατρίδα σου ἀπήμαντον.

www.tezaurliturgic.ro



Θεοτοκίον

Ἔλαμψεν ἐκ σοῦ, τῆς ζωῆς Κόρη ὁ Ἥλιος, ἐν μορφῇ τῇ καθ' ἡμᾶς δίχα τροπῆς, καὶ κατηύγασε τὸν κόσμον γνώσει κρείττονι.

Ὠδὴ στ'. Τὴν δέησιν ἐκχεῶ.

Μεγίστης, ἀξιωθεὶς εὐκληρίας, ὡς Ἀπόστολος Κυρίου καὶ Μάρτυς, μεγάλων πόνων καὶ θλίψεων ῥῦσαι, καὶ πάσης ἄλλης ἐν βίῳ κακώσεως, τοὺς τῇ σεπτῇ σου ἀρωγῇ, προσιόντας παμμάκαρ Σωσίπατρε.

Ἐρρύσω, τῶν Κερκυραίων τὰ στίφη σκοτασμοῦ τῆς ἀσεβείας θεόφρον· καὶ νῦν ἡμᾶς ζοφερᾶς ἁμαρτίας, καὶ τῶν τοῦ σκότους ἀρχόντων ἀπάλλαξον, ἐπηρειῶν τῶν χαλεπῶν, φωταυγεῖ σου πρεσβείᾳ Ἀπόστολε.

Χριστός σε, περιφανῶς μεγαλύνει, ὡς Ἀπόστολον καὶ Μάρτυρα μέγαν· ὃν ἐκδυσώπει Σωσίπατρε θεῖε, μελλούσης δόξης τυχεῖν καὶ λαμπρότητος, τοὺς μεγαλύνοντας ἀεί, τῶν μεγάλων σου ἄθλων τὰ τρόπαια.

Θεοτοκίον.

Ἀφράστως, τὸν Ποιητὴν τῶν αἰώνων, ἐπ' ἐσχάτων ἡμερῶν Θεοτόκε, μετὰ σαρκὸς ὑπὲρ φύσιν τεκοῦσα, τῶν σαρκικῶν με παθῶν ἀποκάθαρον, καὶ λάμπρυνόν μου τὴν ψυχήν, μετανοίας ἀκτῖσι καὶ σῶσόν με.

Διάσωσον πάσης ἀνάγκης Σωσίπατρε θεηγόρε, τοὺς ἐν πίστει τῇ προστασίᾳ σου σπεύδοντας, ὡς δεδεγμένος θεόθεν πλουσίαν χάριν.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον...

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.

Ὡς Ἀθλητὴς καὶ Ἀπόστολος ἔνθεος, Χριστὸν δυσώπει ἀπαύστως Σωσίπατρε, πταισμάτων διδόναι συγχώρησιν, καὶ πειρασμῶν ἀπολύτρωσιν Ἅγιε, ἡμῖν τοῖς ἐκ πόθου τιμῶσί σε.

www.tezaurliturgic.ro



Προκείμενον.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ...

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ...

Εὐαγγέλιον κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα Μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτά, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Τούτους ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς, λέγων· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε. Πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δὲ κηρύσσετε, λέγοντες, ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

Δόξα. Ταῖς τοῦ Ἀποστόλου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Προσόμοιον.

Ἦχος. πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Αἴγλην τὴν τοῦ Πνεύματος, ὑποδεξάμενος μάκαρ, ὡς θεῖος Ἀπόστολος, καὶ φωστὴρ πολύφωτος κόσμῳ ἔλαμψας. Ἀλλὰ νῦν Ἅγιε, ὡς φωτὶ τῷ θείῳ παριστάμενος ἱκέτευε, Χριστὸν τὸν Κύριον, λῦσαι τῶν παθῶν τὴν σκοτόμαιναν, ἀπὸ τῶν καρδιῶν ἡμῶν, καὶ χαρὰν βραβεῦσαι καὶ λύτρωσιν, τοῖς ἐν ἀσθενείαις, στενάζουσι καὶ ἄλλοις θλιβεροῖς, Ἱερομάρτυς Σωσίπατρε, Βερροιαίων καύχημα.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ρείθροις θείων σου λόγων, ἀσεβείας ἐσβέσθη πάλαι ἡ κάμινος· καὶ νῦν ἡμῶν τὴν φλόγα, παθῶν τῶν ἀκαθάρτων, ἐναπόσβεσον Ἅγιε, ταῖς ἐπομβρίαις τῶν σῶν, Σωσίπατρε χαρίτων.

Ἴδε ὄμματι θείῳ, Βερροιαίων τὰ στίφη μάκαρ Σωσίπατρε, ἑστῶτας μετὰ πόθου, τῇ θείᾳ σου Εἰκόνι, καὶ ἑκάστῳ χορήγησον, ὡς οἶδας χάριν τὴν σήν, ὡς τούτων ἀντιλήπτωρ.

www.tezaurliturgic.ro



Σωτηρίαν ἐξαίτει, καὶ ζωῆς τῆς μελλούσης θείαν ἀπόλαυσιν, παρὰ τοῦ Διδασκάλου, Σωσίπατρε παμμάκαρ, τοῖς ἐν πίστει κραυγάζουσιν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον

Γεωργεῖν με Παρθένε, οὐρανίους ἐννοίας καὶ φόβον ἔνθεον, ὡς ἂν τὴν τοῦ Βελίαρ, ἐκκρούσωμαι μανίαν, καταξίωσον δέομαι, ὁ καταφεύγων πιστῶς, τῇ κραταιᾷ σου σκέπῃ.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Ἔχει σε γέρας, ἡ πόλις Βέρροια μάκαρ, καὶ προσφύγιον Σωσίπατρε καὶ τεῖχος· ὅθεν σου κηρύττει, ἥνπερ καρποῦται χάριν.

Ῥάβδος ἰσχύος, γενοῦ ἐν πάσῃ ἀνάγκῃ, ὦ Σωσίπατρε τοῖς σὲ ὑμνολογοῦσι, τῶν ἐχθρῶν συντρίβων, τὴν καθ' ἡμῶν μανίαν.

Ἄλυπον τήρει, καὶ ἀστασίαστον μάκαρ, τὴν ζωὴν ἡμῶν ἐκ πάσης ἐπηρείας, ἵνα σε τιμῶμεν, Σωσίπατρε θεόφρον.

Θεοτοκίον

Σὲ προστασίαν, καὶ ἀσφαλῆ σωτηρίαν, Κόρη ἔχοντες ῥυόμεθα κινδύνων· ὅθεν σου ὑμνοῦμεν, τὸ μέγεθος τῆς δόξης.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἰλύος ἁμαρτίας, τῇ σῇ προστασίᾳ, ῥῦσαι ἡμᾶς θεηγόρε Σωσίπατρε, καὶ μετανοίας πρὸς τρίβον ἡμᾶς ὁδήγησον.

Μὴ παύσῃ ἐποπτεύων, ταύτην σου τὴν πόλιν, ἀνακειμένην θερμῶς σοι Σωσίπατρε, μακρὰν ἐκ ταύτης ποιούμενος ἅπαν σκάνδαλον.

Ὁ μέγας τῆς Βερροίας, ῥύστης ἐν ἀνάγκαις, Ἱερομάρτυς Σωσίπατρε ἔνδοξε, ἐκ τῶν βελῶν τοῦ Βελίαρ ἡμᾶς περίσκεπε.

www.tezaurliturgic.ro



Θεοτοκίον

Ὑπέραγνε Μαρία, ῥύπου ἁμαρτίας, τὴν μολυνθεῖσαν καρδίαν μου κάθαρον, καὶ τῶν χειρῶν τοῦ ἐχθροῦ μου τάχος με λύτρωσαι.

Τὸ Ἄξιόν ἐστι καὶ τὰ μεγαλυνάρια.

Παύλῳ τῷ θεόπτῃ μαθητευθείς, παρ' αὐτοῦ ἐπλήσθης, ἐπιλάμψεως θεϊκῆς, καὶ θεογνωσίας, τὸ φέγγος ἀπαστράπτεις, φωτοποιοῖς σου λόγοις, θεῖε Σωσίπατρε.

Βέρροια τιμᾷ σε ᾀσματικῶς, ὡς βλάστημα θεῖον, καὶ ἡ Κέρκυρα σὺν αὐτῇ, μέλπει σου τοὺς πόνους, Σωσίπατρε παμμάκαρ· αὐτὴν πρὸς τὸν Χριστὸν γάρ, πάλαι ὡδήγησας.

Ἔχων τὸν τοῦ Πνεύματος θησαυρόν, ἔνδον τῇ ψυχῇ σου, ὡς Ἀπόστολος τοῦ Χριστοῦ, πενομένας φρένας, πλουτίζεις ἐν τῇ πίστει, Σωσίπατρε παμμάκαρ, λόγῳ τῆς χάριτος.

Ἴχνεσι τοῦ Παύλου ἀκολουθῶν, τοῦ Εὐαγγελίου, ἀνεδείχθης μυσταγωγός, καὶ σκότους ἀγνοίας, κηρύγματι ἁγίῳ, Σωσίπατρε ἐξαίρεις, ἐθνῶν συστήματα.

Χαίρει Βερροιαίων πιστῶν πληθύς, τῇ σῇ προστασίᾳ, καυχωμένη καὶ ἀρωγῇ, Σωσίπατρε μάκαρ, οἷς δίδου τὴν σὴν χάριν, ῥυόμενος κινδύνων, ἡμᾶς καὶ θλίψεων.

Πάσης δυσχερείας καὶ συνοχῆς, λύπης καὶ μανίας, διαφύλαττε ἀβλαβεῖς, Σωσίπατρε μάκαρ, τούς σε ἀνευφημοῦντας, ὡς Μαθητὴν Κυρίου, καὶ θεῖον Μάρτυρα.

Πᾶσαι τῶν ἀγγέλων...

Τὸ τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν τὸ ἑξῆς:

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Μύστα καὶ Ἀπόστολε Χριστοῦ, τοῦ Εὐαγγελίου ἐργάτα, καὶ ὑποφῆτα σοφέ, κοινωνὲ θεόληπτε, Παύλου καὶ σύσκηνε, θηγόρε Σωσίπατρε, ἡμῶν τὰς δεήσεις, δέχου καὶ προσάγαγε, αὐτὰς

www.tezaurliturgic.ro



πρὸς Κύριον, ὅπως ὀφλημάτων τὴν λύσιν, καὶ παθῶν τὴν λύτρωσιν πάντες, εὕρωμεν οἱ πόθῳ σε γεραίροντες.

Δέσποινα πρόσδεξαι... Τὴν πᾶσαν ἐλπίδα μου...

Δίστιχον

Ὕμνον ἱκέσιον Σωσίπατρε δέξαι.
Ὅν σοι Γεράσιμος προσήγαγεν ἤδη.



www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro